Πρωταγόρας Ἀβδηρίτης

I. 50. Πρωταγόρας Ἀρτέμωνος, ἢ (ὡς Ἀπολλόδωρος καὶ Δίνων ἐν Περσικοῖς) Μαιανδρίου, Ἀβδηρίτης, καθά φησιν Ἡρακλείδης ὁ Ποντικὸς ἐν τοῖς περὶ νόμων (ὃς καὶ Θουρίοις νόμους γράψαι φησὶν αὐτόν) ὡς δ' Εὔπολις ἐν Κόλαξι, Τήϊος. Φησὶ γάρ, Διογ. Λαέρ.

Ἔνδοθι μέν ἐστι Πρωταγόρας ὁ Τήϊος.

Οὗτος καὶ Πρόδικος ὁ Κεῖος λόγους ἀναγινώσκοντες ἠρανίζοντο· καὶ Πλάτων ἐν τῷ Πρωταγόρᾳ φησί, βαρύφωνον εἶναι τὸν Πρόδικον.
II Διήκουσε δὲ ὁ Πρωταγόρας Δημοκρίτου, ἐκαλεῖτό τε Σοφία, ὥς φησι Φαβωρῖνος ἐν Παντοδαπῇ ἱστορίᾳ.
III 51. Πρῶτος ἔφη δύο λόγους εἶναι περὶ παντὸς πράγματος, ἀντικειμένους ἀλλήλοις· οἷς καὶ συνηρώτα, πρῶτος τοῦτο πράξας. Ἀλλὰ καὶ ἦρξέ που τοῦτον τὸν τρόπον· Πάντων χρημάτων μέτρον, ἄνθρωπος· τῶν μὲν ὄντων, ὡς ἔστι· τῶν δὲ οὐκ ὄντων, ὡς οὐκ ἔστιν. Ἔλεγέ τε μηδὲν εἶναι ψυχὴν παρὰ τὰς αἰσθήσεις (καθὰ καὶ Πλάτων φησὶν ἐν Θεαιτήτῳ) καὶ πάντα εἶναι ἀληθῆ. Καὶ ἀλλαχοῦ δὲ τοῦτον ἤρξατο τὸν τρόπον, Περὶ μὲν θεῶν οὐκ ἔχω εἰδέναι, οὐδ' ὡς εἰσίν, οὐδ' ὡς οὐκ εἰσί. Πολλὰ γὰρ τὰ κωλύοντα εἰδέναι, ἥ τε ἀδηλότης, καὶ βραχὺς ὢν ὁ βίος τοῦ ἀνθρώπου. 52. Διὰ ταύτην δὲ τὴν ἀρχὴν τοῦ συγγράμματος ἐξεβλήθη πρὸς Ἀθηναίων· καὶ τὰ βιβλία αὐτοῦ κατέκαυσαν ἐν τῇ ἀγορᾷ, ὑπὸ κήρυκι ἀναλεξάμενοι παρ' ἑκάστου τῶν κεκτημένων.
IV Οὗτος πρῶτος μισθὸν εἰσεπράξατο μνᾶς ἑκατόν· καὶ πρῶτος μέρη χρόνου διώρισε, καὶ καιροῦ δύναμιν ἐξέθετο, καὶ λόγων ἀγῶνας ἐποιήσατο, καὶ σοφίσματα τοῖς πραγματολογοῦσι προσήγα-

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

249

γε. Καὶ τὴν διάνοιαν ἀφεὶς, πρὸς τοὔνομα διελέχθη, καὶ τὸ
νῦν ἐπιπόλαιον γένος τῶν ἐριστικῶν ἐγέννησεν· ὅθεν καὶ
Τίμων φησὶ περὶ αὐτοῦ,

Πρωταγόρης τ' ἐπίμικτος ἐριζέμεναι εὖ εἰδώς.

53. Οὗτος καὶ τὸ Σωκρατικὸν εἶδος τῶν λόγων πρῶτος ἐκίνη-
σε, καὶ τὸν Ἀντισθένους λόγον, τὸν πειρώμενον ἀποδεικνύειν,
ὡς οὐκ ἔστιν ἀντιλέγειν, οὗτος πρῶτος διείλεκται, καθά φησι
Πλάτων ἐν Εὐθυδήμῳ. Καὶ πρῶτος κατέδειξε τὰς πρὸς τὰς
θέσεις ἐπιχειρήσεις, ὥς φησιν Ἀρτεμίδωρος ὁ διαλεκτικὸς ἐν
τῷ πρὸς Χρύσιππον. Καὶ πρῶτος τὴν καλουμένην τύλην, ἐφ' ἧς
τὰ φορτία βαστάζουσιν, εὗρεν ὥς φησιν Ἀριστοτέλης ἐν τῷ
περὶ παιδείας. Φορμοφόρος γὰρ ἦν, ὡς καὶ Ἐπίκουρός πού φησι,
καὶ τοῦτον τὸν τρόπον ἤρθη πρὸς Δημόκριτον, ξύλα δεδεκὼς ὀφ-
θείς. Διεῖλέ τε τὸν λόγον πρῶτος εἰς τέτταρα· εὐχωλήν, ἐρώτησιν,
ἀπόκρισιν, ἐντολήν. 54. Οἱ δέ, εἰς ἑπτά· διήγησιν, ἐρώτησιν, ἀ-
πόκρισιν, ἐντολήν, ἀπαγγελίαν, εὐχωλήν, κλῆσιν, οὓς καὶ πυθμέ-
νας εἶπε λόγων. Ἀλκιδάμας δὲ τέτταρας λόγους φησί· φάσιν, ἀ-
πόφασιν, ἐρώτησιν, προσαγόρευσιν.

V. Πρῶτον δὲ τῶν λόγων ἑαυτοῦ ἀνέγνω τὸν περὶ θεῶν, οὗ
τὴν ἀρχὴν ἄνω παρεθέμεθα. Ἀνέγνω δὲ Ἀθήνησιν ἐν τῇ
Εὐριπίδου οἰκίᾳ, ἢ (ὥς τινες) ἐν τῇ Μεγακλείδου· ἄλλοι,
ἐν Λυκείῳ, μαθητοῦ τὴν φωνὴν αὐτῷ χρήσαντος Ἀρχα-
γόρου τοῦ Θεοδότου. Κατηγόρησε δὲ αὐτοῦ Πυθόδωρος
Πολυζήλου, εἷς τῶν τετρακοσίων. Ἀριστοτέλης δ' Εὔαθλόν φη-
σιν.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

250

Πρωταγόρας.

VI. 55. Ἔστι δὲ τὰ σωζόμενα αὐτοῦ βιβλία τάδε. Τέχνη ἐριστικῶν. Περὶ πάλης. Περὶ τῶν μαθημάτων. Περὶ πολιτείας. Περὶ φιλοτιμίας. Περὶ ἀρετῶν. Περὶ τῆς ἐν ἀρχῇ καταστάσεως. Περὶ τῶν ἐν ᾅδου. Περὶ τῶν οὐκ ὀρθῶς τοῖς ἀνθρώποις πραττομένων. Προστακτικός. Δίκη ὑπὲρ μισθοῦ. Ἀντιλογιῶν δύο. Καὶ τάδε μὲν αὐτῷ τὰ βιβλία. Γέγραφε δὲ καὶ Πλάτων εἰς αὐτὸν διάλογον.

VII. Φησὶ δὲ Φιλόχορος, πλέοντος αὐτοῦ ἐς Σικελίαν, τὴν ναῦν καταποντωθῆναι, καὶ τοῦτο αἰνίττεσθαι Εὐριπίδην ἐν τῷ Ἰξίονι. Ἔνιοι κατὰ τὴν ὁδὸν τελευτῆσαι αὐτόν, βιώσαντα ἔτη πρὸς τὰ ἐνενήκοντα. 56. Ἀπολλόδωρος δέ φησιν ἑβδομήκοντα, σοφιστεῦσαι δὲ τεσσαράκοντα ἔτη, καὶ ἀκμάζειν κατὰ τὴν τετάρτην καὶ ὀγδοηκοστὴν Ὀλυμπιάδα. Ἔστι καὶ εἰς τοῦτον ἡμῶν οὕτως ἔχον,

Καὶ σοῦ, Πρωταγόρη, φάτιν ἔκλυον, ὡς ἄρ' Ἀθηνῶν
ἐκ ποτ' ἰών, καθ' ὁδὸν πρέσβυς ἐών, ἔθανες·
εἵλετο γάρ σε φυγεῖν Κέκροπος πόλις. Ἀλλὰ σὺ μέν που
Παλλάδος ἄστυ φύγες, Πλουτέα δ' οὐκ ἔφυγες.

VIII. Λέγεται δέ ποτε αὐτὸν ἀπαιτοῦντα τὸν μισθὸν Εὔαθλον τὸν μαθητήν, ἐκείνου εἰπόντος, ἀλλ' οὐδέπω νενίκηκα, εἰπεῖν, ἀλλ' ἐγὼ μὲν ἂν νικήσω, ὅτι ἐγὼ ἐνίκησα, λαβεῖν με δεῖ· ἐὰν δὲ σύ, ὅτι σύ.

IX. Γέγονε δὲ καὶ ἄλλος Πρωταγόρας, ἀστρολόγος, εἰς ὃν καὶ Εὐφορίων ἐπικήδειον ἔγραψε· καὶ τρίτος, Στωϊκὸς φιλόσοφος.